

# Ἄδουσι τὴν ᾨδὴν τοῦ Ἀρνίου

(Ἀποκαλ. ιε΄ 3)



**Ἐπὶ τῇ ἱερᾷ Συνάξει τῶν Ἁγίων Πέντε Ὁμολογητῶν,**
**τῶν σθεναρῶς ἀγωνισαμένων ὑπὲρ τῶν τῆς Ἐκκλησίας**
**Ὀρθῶν Δογμάτων καὶ Παραδόσεων,**
**ἤγουν Μαξίμου Ὁμολογητοῦ, Θεοδώρου Στουδίτου,**
**Φωτίου Μεγάλου, Γρηγορίου Παλαμᾶ καὶ Μάρκου Ἐφέσου**
**Σάββατον μετὰ τὴν 5ην τοῦ Ἰουλίου μηνὸς**




## Ἀπολυτίκιον*

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Χορείαν Πεντάριθμον, Ὁμολογίας Καλῆς, τιμήσωμεν ἅπασα, τῶν Ὀρθοδόξων πληθύς, Πατέρων καυχήματα· Μάξιμον ὑψιπέτην, καὶ Θεόδωρον ἔνθουν, Φώτιον τὸν θεόπνουν, καὶ Γρηγόριον θεῖον, σὺν Μάρκῳ τῷ θαυμασίῳ, Τριάδος σκηνώματα.

## Κοντάκιον*

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ Στρατηγῷ.

Τῆς Πενταρίθμου νῦν χορείας εὐφημοῦμεν, Ὁμολογίας εὐκλεοῦς τὰ Νικητήρια, Ὀρθοδόξων τῶν Γνησίων αἱ χορεῖαι· ὑψιπέται θεολόγοι ἀνεδείχθητε, θεῖε Μάξιμε, Θεόδωρε καὶ Φώτιε, καὶ Γρηγόριε, σὺν τῷ Μάρκῳ, θεσπέσιοι.

## Μεγαλυνάριον*

Ἦχος πλ. δ΄.

Λῆμον τὸν Πεντάριθμον οἱ Πιστοί, δεῦτε νῦν προθύμως, ἀνυμνήσωμεν εὐσεβῶς, Μάξιμον τὸν θεῖον, Θεόδωρον καὶ Μᾶρκον, καὶ Φώτιον τὸν ἔμπνουν, καὶ τὸν Γρηγόριον.

---

(*) Ἐποιήθησαν, Χάριτι Θείᾳ, ὑπὸ † Σεβασμ. Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ. Τὸ Ἀπολυτίκιον τῇ 24ῃ Ὀκτωβρίου 2017ῳ· τὸ Κοντάκιον καὶ τὸ Μεγαλυνάριον τῇ 25ῃ Ὀκτωβρίου 2017ῳ.